*ἀγαθοῦ· φαντασίαν ὀρέγεται καὶ ὁρμᾷ, πάντα πράττων ὅπως οὐ διαφεύξεται αὐτόν, ἀλλ' ὡς ἀνυστὸν ἀεὶ συνέσται τῷ οἰκείῳ, φυσικαῖς οὐ γεωμετρικαῖς ἑλκόμενος ἀνάγκαις. 'ἄνευ διδασκάλου γὰρ αὐτὰ προκαλεῖται', τὰ καλὰ ταῦτα* E *καί 'λεῖα καὶ προσηνῆ κινήματα τῆς σαρκός', ὡς αὐτοί φασιν οὗτοι, καὶ τὸν πάνυ μὴ φάσκοντα μηδ' ὁμολογοῦντα κάμπτεσθαι καὶ μαλάσσεσθαι τούτοις. 'ἀλλὰ πῶς οὐκ εἰς ὄρος ἄπεισι τρέχων ὁ ἐπέχων ἀλλ' εἰς βαλανεῖον, οὐδὲ πρὸς τὸν τοῖχον ἀλλὰ πρὸς τὰς θύρας ἀναστὰς βαδίζει, βουλόμενος εἰς ἀγορὰν προελθεῖν;' τοῦτ' ἐρωτᾷς ἀκριβῆ τὰ αἰσθητήρια λέγων εἶναι καὶ τὰς φαντασίας ἀληθεῖς; ὅτι φαίνεται δήπουθεν αὐτῷ βαλανεῖον οὐ τὸ ὄρος ἀλλὰ τὸ βαλανεῖον, καὶ θύρα οὐχ ὁ τοῖχος ἀλλ' ἡ θύρα, καὶ τῶν ἄλλων ὁμοίως ἕκαστον. ὁ γὰρ τῆς ἐποχῆς λόγος οὐ παρατρέπει* F *τὴν αἴσθησιν, οὐδὲ τοῖς ἀλόγοις πάθεσιν αὐτῆς καὶ κινήμασιν ἀλλοίωσιν ἐμποιεῖ διαταράττουσαν τὸ φανταστικόν, ἀλλὰ τὰς δόξας μόνον ἀναιρεῖ χρῆται δὲ τοῖς ἄλλοις ὡς πέφυκεν. 'ἀλλ' ἀδύνατον τὸ μὴ συγκατατίθεσθαι τοῖς ἐναργέσι· | τὸ γὰρ ἀρνεῖσθαι τὰ πεπιστευμένα τοῦ μήτ'* 1123 *ἀρνεῖσθαι μήτε τιθέναι παραλογώτερον.' τίς οὖν κινεῖ τὰ πεπιστευμένα καὶ μάχεται τοῖς ἐναργέσιν; οἱ μαντικὴν ἀναιροῦντες καὶ πρόνοιαν ὑπάρχειν θεῶν μὴ φάσκοντες μηδὲ τὸν ἥλιον ἔμψυχον εἶναι μηδὲ τὴν σελήνην, οἷς πάντες ἄνθρωποι θύουσι καὶ προσεύχονται καὶ σέβονται. τὸ δὲ φύσει περιέχεσθαι τὰ τεκόντα τῶν γεννωμένων οὐχὶ πᾶσι φαινόμενον ἀναιρεῖτε; τὸ δὲ πόνου καὶ ἡδονῆς μηδὲν εἶναι μέσον οὐκ ἀποφαίνεσθε παρὰ τὴν πάντων αἴσθησιν, ἡδέσθαι τὸ μὴ ἀλγεῖν καὶ πάσχειν τὸ μὴ ⟨κινεῖσθαι⟩ λέγοντες;* (28.) *ἀλλ' ἵνα τἆλλα ἐάσω, τί μᾶλλον ἐναργὲς*